Ακαδημία Αθηνών / Academy of Athens

**σύμπας** (τύπ. ξύμπας) **1.** Ὅλα, all, Ἀναξαγόρας 1.5 ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μεγέθει Δημόκριτος 11 γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις.|| Δημόκριτος 165 λέγω τάδε περὶ τῶν ξυμπάντων **2.** Ὁλόκληρος, whole, Ἀναξαγόρας 12.12 τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχὴν Δημόκριτος 247 ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος **3.** Τὸ σύμπαν, the Whole, Ἀναξαγόρας 4.20 ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χρήματα **4.** Καθόλου/συνολικά, generally/on the whole, Διογένης 2.1 ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν εἰπεῖν πάντα τὰ ὄντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι. Πρβλ. πᾶς.

**συμπήγνυσθαι.** Συμπήγνυμαι/συντίθεμαι, be congealed/be composed of, Ἀναξαγόρας 4.4 καὶ ἀνθρώπους τε συμπαγῆναι καὶ τὰ ἄλλα ζῷα ὅσα ψυχὴν ἔχει 16.1-3 ἀπὸ τουτέων ἀποκρινομένων συμπήγνυται γῆ· ἐκ μὲν γὰρ τῶν νεφελῶν ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, ἐκ δὲ τῆς γῆς λίθοι συμπήγνυνται ὑπὸ τοῦ ψυχροῦ. Πρβλ. πήγνυσθαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**συμπίπτειν 1.** Συμπίπτω/συναντῶμαι, coincide/come together, Ἐμπεδοκλῆς 59.2 αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων, ταῦτά τε συμπίπτεσκον, ὅπῃ συνέκυρσεν ἕκαστα Ἀρχύτας 1.14 πλαγὰν δ' ἔφαν γίνεσθαι, ὄκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτῃ **2.** Συμπίπτω/συμβαίνω, happen/occur, Ἀρχύτας 2.6 καὶ ἐν ταύτᾳ ⟨τᾷ⟩ ἀναλογίᾳ συμπίπτει ἦμεν τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον. Πρβλ. συγκύρειν, ἀπαντιάζειν.

**συμφέρειν 1.** Συμπορεύομαι/συμφωνῶ, go along together/agree, Ἡράκλειτος 8 τὸ ἀντίξουν συμφέρον **2.** Συμφέρω/ὠφελῶ, be advantageous/benefit, Δημόκριτος 74 ἡδὺ μηδὲν ἀποδέχεσθαι, ἢν μὴ συμφέρῃ 107 φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ ξυμφωνέοντες περὶ τοῦ ξυμφέροντος 237 φιλονικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει 253 τοῖς χρηστοῖσιν οὐ συμφέρον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ